ὄνος βαλανέως ξύλα καὶ φρύγανα κατακομίζων, ἀεὶ καπνοῦ καὶ τέφρας ἀναπιμπλάμενος λουτροῦ δὲ μὴ μετέχων μηδ' ἀλέας μηδὲ καθαρειότητος.

6. Καὶ ταῦτα ⟨μὲν⟩ πρὸς τὴν ὀνώδη καὶ μυρμηκώδη λέγεται φιλοπλουτίαν· ἑτέρα δ' ἐστὶν ἡ θηριώδης, συκοφαντοῦσα καὶ κληρονομοῦσα καὶ παραλογιζομένη καὶ πολυπραγμονοῦσα καὶ φροντίζουσα καὶ ἀριθμοῦσα τῶν φίλων ἔτι πόσοι ζῶσιν, εἶτα πρὸς μηδὲν ἀπολαύουσα τῶν
παντοχόθεν προσποριζομένων. ὥσπερ οὖν ἐχίδνας καὶ F
κανθαρίδας καὶ φαλάγγια μᾶλλον προβαλλόμεθα καὶ δυσχεραίνομεν ἄρκτων καὶ λεόντων, ὅτι κτείνει καὶ ἀπόλλυσιν ἀνθρώπους μηδὲν χρώμενα τοῖς ἀπολλυμένοις ὑπ' αὐτῶν, οὕτω δεῖ μᾶλλον δυσχεραίνειν τῶν δι' ἀσωτίαν τοὺς διὰ μικρολογίαν καὶ ἀνελευθερίαν πονηρούς· ἀφαι-
ροῦνται γὰρ ἄλλων, οἷς αὐτοὶ | χρῆσθαι μὴ δύνανται μηδὲ 526
πεφύκασιν. ὅθεν ἐκεῖνοι μὲν ἐκεχειρίαν ἄγουσιν ἐν ἀφθόνοις γενόμενοι καὶ χορηγίαν ἔχοντες (ὥσπερ ὁ Δημοσθένης ἔλεγε πρὸς τοὺς νομίζοντας τῆς πονηρίας τὸν Δημάδην πεπαῦσθαι, 'νῦν γάρ' ἔφη 'μεστὸν ὁρᾶτε, καθάπερ τοὺς λέοντας')· τοῖς δ' εἰς μηδὲν ἡδὺ μηδὲ χρήσιμον πονηρευομένοις οὐκ ἔστιν ἀνακωχὴ τοῦ πλεονεκτεῖν οὐδ' ἀσχολία κενοῖς οὖσιν ἀεὶ καὶ προσδεομένοις ἁπάντων.

7. 'Ἀλλὰ νὴ Δία' φήσει τις [ὅτι] 'παισὶν οὗτοι καὶ κληρονόμοις φυλάττουσι καὶ θησαυρίζουσι.' πῶς; οἷς ζῶντες